UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 236.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἣν ἐμπνευσθεὶς ὁ Πέτρος παρ' αὐτοῦ ὡς κρηπῖδα καὶ βάθρον ἀπέθετο, ἐφ' ἧ τὴν ἑαυτοῦ ἐκκλησίαν ὁ κύριος ᾠκοδόμησε.

ratus Petrus, tãquam baſim ac fundamẽtum iecit, ſuper quod Dominus Eccleſiam ſuam extruxit.

Τῷ αὐτῷ. σλϛ.

Τὸ σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, τῶν δύο φύσεων σημαίνει τὴν ἕνωσιν, ἣν ἐν ἑαυτῷ ὁ τοῦ θεοῦ υἱὸς εἰς σωτηρίαν ἡμῶν θεοπρεπῶς ἐξειργάσατο.

*Eidem.* 236.

Hæc verba, Tu es Chriſtus Filius Dei, duarum naturarum coniunctionem ſignificant, quam Dei filius in ſeipſo, noſtræ ſalutis cauſa, modo deitati conſentaneo effecit. Matt.

Ηρμοκιανῷ. σλζ.

Αγνοεῖς μὲν τὴν ἀνταπόδοσιν, ὡς ἀβλεπτῶν πρὸς τὰ μέλλοντα. οὐ μόνον δὲ ἐν τῷ μέλλοντι κριτηρίῳ, ἀλλὰ καὶ ἐν τῷ παρόντι βίῳ τὰς ἐπαξίους τίνουσι δίκας οἱ βάσανοι. (βάσκανοι.) καὶ πειθέτω σε ἡ τοῦ Αχαὰβ Ιεζάβελ, ἐπιμανεῖσα τῷ τοῦ Ναβουθὰ ἀμπελῶνι, καὶ νῦν μὲν βορὰ κυνῶν γενομένη, μετὰ ταῦτα δὲ τῷ αἰωνίῳ πυρὶ τηρουμένη.

*Hermociano.* 237.

Mercedem ignoras, vt qui ad futura cæcutias. Porrò non in futuro duntaxat iudicio ac tribunali, verùm etiam in hac vita meritas pœnas pendunt, qui inuidia laborant. Huius rei tibi fidem faciat Iezabel illa vxor Achab, quæ inſana quadã vineæ Naboth cupiditate exarſit: ac propterea, & nunc canibus præda fuit, & poſt igni ſempiterno ſeruatur. Reg. Reg.

Σερήνῳ. σλη.

Πύλας ᾅδου ὁ θεῖος λόγος ἐκάλεσε, τὰς τῶν ἀθέων τιμωρίας, τὰς τῶν αἱρέσεων βλασφημίας, αἷς πσὶ πάσαις ἀνθεστῶσα ἡ τοῦ θεοῦ ἐκκλησία, τὰς μὲν καταγωνίζεται, ὑπὸ δὲ τῶν οὐ κατακυριεύεται.

*Sereno.* 238.

Per inferi portas diuinus ſermo impiorum hominum cœtus atque hereſum blaſphemias intelligit: quibus omnibus obſiſtens Dei Eccleſia, eas quidem frangit & expugnat, ab iis autem vinci non poteſt. Matt.

Αλφειῷ πρεσβυτέρῳ. σλθ.

Η ἐν τῷ ὄρει μεταμόρφωσις τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος, τὴν ἐκ νεκρῶν ἐξανάστασιν ἡμῶν προεδήλου, ἥντινα καὶ φυλάττειν ἐν ἑαυτοῖς οἱ θεαταὶ προσετάττοντο μέχρι τῆς αὐτοῦ ἀναστάσεως, ὡς τότε πιστὴν φανησομένην, οἷα τῷ ἔργῳ ὁρωμένην. ἡ δὲ Μωσέως καὶ Ηλιοῦ παρουσία, τὴν ζώντων καὶ νεκρῶν ἐμαρτύρησεν αὐτῷ δεσποτείαν.

*Alphio preſbytero.* 239.

Domini ac Saluatoris noſtri in monte transfiguratio, noſtram à morte ad vitam excitationem præſignabat: quam quidem etiam vſque ad ipſius reſurrectionem, tacitam apud ſe tenere ſpectatores iubebãtur, vt pote tum fidem inuẽturam, vt quæ iam reipſa perſpiceretur. Moſis autem & Heliæ præſentia hoc teſtabatur, eũ & viuis & mortuis dominari. Matt. Matt.

Κυρηνίῳ. σμ.

Εἰ τῶν κακῶν αἴτιόν ἐστι τὸ θεῖον, πῶς ἐπὶ σε ὕει, καὶ ἥλιον ἀνατέλλει, καὶ μέχρι γήρως σε παρέτεινεν ἐνταῦθα,

*Cyrenio.* 240.

Si Deus malorum author eſt, quî fit vt ſuper te pluat ac ſolem oriri faciat, atque ad ſenilem vſque ætatem hîc tibi vitam